D ἄλλαι τυγχάνουσι λοιπαὶ οὖσαι. δι᾽ ἃς δ᾽ αἰτίας οὐχ οἷόν
τ᾽ ἐξ αὐτῶν τούτων γενέσθαι κριτικόν, πειρατέον κατα-
μαθεῖν. πρῶτον ἐκ τοῦ ἡμῖν ὑποκεῖσθαι τὰ μὲν τῶν κρι-
νομένων τέλεια, τὰ δ᾽ ἀτελῆ· τέλεια μὲν αὐτό τε τῶν
ποιημάτων ἕκαστον, οἷον τὸ ᾀδόμενον ἢ αὐλούμενον ἢ
κιθαριζόμενον, καὶ ἡ ἑκάστου αὐτῶν ἑρμηνεία, οἷον ἥ τ᾽
αὔλησις καὶ ἡ ᾠδὴ καὶ τὰ λοιπὰ τῶν τοιούτων· ἀτελῆ
δὲ τὰ πρὸς ταῦτα συντείνοντα καὶ τὰ τούτων ἕνεκα γι-
γνόμενα· τοιαῦτα δὲ τὰ μέρη τῆς ἑρμηνείας. δεύτερον ἐκ
τῆς ποιήσεως· ὡσαύτως γὰρ καὶ αὐτὴ ὑπο *** κρίνειε γὰρ
ἄν τις ἀκούων αὐλητοῦ, πότερόν ποτε συμφωνοῦσιν οἱ
E αὐλοὶ ἢ οὔ, καὶ πότερον ἡ διάλεκτος σαφὴς ἢ τοὐναν-
τίον· τούτων δ᾽ ἕκαστον μέρος ἐστὶ τῆς αὐλητικῆς ἑρμη-
νείας, οὐ μέντοι τέλος, ἀλλ᾽ ἕνεκα τοῦ τέλους γιγνόμε-
νον· παρὰ ταῦτα γὰρ αὖ καὶ τὰ τοιαῦτα πάντα κριθήσε-
ται τὸ τῆς ἑρμηνείας ἦθος, εἰ οἰκεῖον ἀποδίδοται τῷ παρ-
αποδοθέντι ποιήματι, ὃ μεταχειρίσασθαι καὶ ἑρμηνεῦ-
σαι ὁ ἐνεργῶν βεβούληται. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν
παθῶν τῶν ὑπὸ τῆς ποιητικῆς σημαινομένων ἐν τοῖς ποιή-
μασιν.

**37.** Ἅτ᾽ οὖν ἠθῶν μάλιστα φροντίδα πεποιημένοι οἱ
παλαιοί, τὸ σεμνὸν καὶ ἀπερίεργον τῆς ἀρχαίας μουσικῆς
F προετίμων. Ἀργείους μὲν γὰρ καὶ κόλασιν ἐπιθεῖναί ποτέ
φασι τῇ εἰς τὴν μουσικὴν παρανομίᾳ, ζημιῶσαί τε τὸν
[ἐπιχειρήσαντα] πρῶτον [τοῖς] πλείοσι τῶν ἑπτὰ χρήσα-
σθαι παρ᾽ αὐτοῖς χορδῶν καὶ παραμιξολυδιάζειν ἐπιχει-
ρήσαντα. Πυθαγόρας δ᾽ ὁ σεμνὸς ἀπεδοκίμαζε τὴν κρίσιν